UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

**Parisiis, 1644**

Ex his dogmatibus, quae mota sunt inter sanctae memoriae Maximum, & Theodorium episcopum Caesariae Bithyniae, & consules qui cum ipso erant: cuius initium est.

**urn:nbn:de:hbz:466:1-15473**

Visual Library

*Ex his dogmatibus, quæ mota sunt inter sanctæ memoriæ Maximum, & Theodosium episcopum Cæsariæ Bithyniæ, & consules qui cum ipso erant: cuius initium est.*

Quæ mota sunt de immaculata fide nostra Christianorum. Et post alia. Domini, postquam placuit hoc fieri, exitus fiat eorum quæ * prædicantur: & quo vultis, sequor vos. Et in his surrexerunt omnes cum gaudio & lacrymis, & miserunt metanœam, & oratio facta est: & vnusquisque ipsorum sancta euangelia, & preciosam crucem, & iconam Dei & saluatoris nostri Iesu Christi, & dominæ nostræ quæ eum genuit, sanctissimæ Dei genitricis, salutauerunt, ponentes & proprias manus in confirmationem eorum quæ dicta fuerant. Et paulo post. Conuersus ergo ad episcopum abbas Maximus, cum lacrymis dixit ei: Domine magne, diem iudicii expectamus omnes. nosti quæ signata & placita sunt super sanctis euangeliis, & viuifica cruce, & imagine Dei & saluatoris nostri, ac sanctissimæ & semper virginis matris eius, quæ peperit eum.

* placuerunt:

Constantinus sanctissimus episcopus Constantiæ Cypri dixit: Salutauerunt, hic pro adoratione pater assumpsit, quoniam sanctum euangelium & viuificam crucem adorauit; cum quibus etiam colendas imagines saluatoris & eius immaculatæ matris.

Tarasius sanctissimus patriar-

Ἐκ τῶν κινηθέντων δογμάτων μεταξὺ τοῦ ἐν ἁγίοις Μαξίμου καὶ Θεοδοσίου ἐπισκόπου Καισαρείας τῆς Βιθυνίας, καὶ τῶν σὺν αὐτῷ ὑπάτων· ὧν ἡ ἀρχή.

Τὰ κεκινημένα περὶ τῆς ἀμωμήτου ἡμῶν πίστεως τῶν Χριστιανῶν. καὶ μεθ' ἕτερα Μάξιμος εἶπε· δεσπόται, ἐπειδὴ ἔδοξε τοῦτο γενέσθαι, ἔκβασις γένοιτο τῶν δοξάντων· καὶ ὅπου κελεύετε, ἀκολουθῶ ὑμῖν. καὶ ἐπὶ τούτοις ἀνέστησαν πάντες μετὰ χαρᾶς καὶ δακρύων, καὶ ἔβαλον μετάνοιαν, καὶ εὐχὴ γέγονε· καὶ ἕκαστος αὐτῶν τὰ ἅγια εὐαγγέλια, καὶ τὸν τίμιον σταυρὸν, καὶ τὴν εἰκόνα τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς δεσποίνης ἡμῶν τῆς αὐτὸν τεκούσης παναγίας θεοτόκου ἠσπάσαντο, τεθεικότες καὶ τὰς ἰδίας χεῖρας ἐπὶ βεβαιώσει τῶν λαληθέντων. καὶ μετὰ βραχέα. στραφεὶς τοίνυν ὁ ἀββᾶς Μάξιμος πρὸς τὸν ἐπίσκοπον, μετὰ δακρύων εἶπεν αὐτῷ· κῦρι ὁ μέγας, ἡμέραν κρίσεως ἐκδεχόμεθα πάντες. οἶδας τὰ τυπωθέντα καὶ δόξαντα ἐπὶ τῶν ἁγίων εὐαγγελίων, καὶ τοῦ ζωοποιοῦ σταυροῦ, καὶ τῆς εἰκόνος τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν, καὶ τῆς αὐτὸν τεκούσης παναγίας ἀειπαρθένου μητρός.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου εἶπεν· τὸ ἠσπάσαντο, ὧδε ἐπὶ προσκυνήσεως ἔλαβεν ὁ πατὴρ, ἐπειδὴ τὸ ἅγιον εὐαγγέλιον καὶ τὸν ζωοποιὸν σταυρὸν προσεκύνησε· μεθ' ὧν καὶ τὰς σεβασμίας εἰκόνας τοῦ σωτῆρος, καὶ τῆς αὐτοῦ παναγίου μητρός.

Ταράσιος ὁ ἁγιώτατος πατριάρ-

ANNO CHRISTI 787.

χης εἶπε· συνηρίθμηνται τοῖς ἁγίοις σκεύεσιν αἱ τίμιαι εἰκόνες.

Ἡ ἁγία σύνοδος εἶπεν· εὔδηλον.

Οἱ ὁσιώτατοι ἐπίσκοποι Σικελίας τῆς νήσου εἶπον· ὡς ἅγια μετὰ τῶν ἁγίων συναριθμοῦνται.

Πέτρος ὁ ὁσιώτατος ἐπίσκοπος Νικομηδείας εἶπεν· ἔχομεν καὶ ἡμεῖς τὴν αὐτὴν βίβλον τοῦ ἁγίου Μαξίμου, καὶ εἰ ἀξιοῦτε ἀναγνωσθῶσι τὰ προειρημένα.

Κοσμᾶς διάκονος καὶ κουβουκλείσιος λαβὼν ἀνέγνω τὴν προγεγραμμένην τοῦ ἁγίου Μαξίμου χρῆσιν.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· σκοπήσωμεν ἀδελφοί, ὅπως εἴρηκεν, ὅτι ἠσπάσαντο· ὅπερ καὶ ἡμεῖς τιμητικῇ διαθέσει ποιεῖν ὀφείλομεν. ἡ γὰρ λατρεία ἡμῶν πρὸς τὸν ἕνα θεὸν ἀνάγεται.

Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τῆς ἀνατολῆς εἶπεν· εἰ μὴ ἦσαν ἀναγκαῖαι αἱ εἰκόνες, οὐκ ἂν ἐπ' ἀσφαλείᾳ αὐτὰς κατησπάσαντο. ὥστε ἰσοδυναμοῦσιν αἱ τίμιαι εἰκόνες τῷ εὐαγγελίῳ καὶ τῷ τιμίῳ σταυρῷ.

Πέτρος ὁ ὁσιώτατος ἐπίσκοπος Νικομηδείας εἶπε· καὶ τοῦτο οὐχ ὁ τυχὼν ἀνὴρ, ἀλλὰ Μάξιμος ὁ θεόσοφος καὶ τοῖς πατράσιν ἐφάμιλλος, ἔτι μὴν καὶ ὁμολογητὴς, καὶ τῆς ἀληθείας ὑπέρμαχος. ἀρκετὸν οὖν καὶ ἡμᾶς μιμεῖσθαι αὐτὸν ἐν τῷ ἀσπάζεσθαι τὰς ἱερὰς εἰκόνας.

Ἡλίας ὁ εὐλαβέστατος πρωτοπρεσβύτερος τῆς ἁγιωτάτης ἐκκλησίας τῆς δεσποίνης ἡμῶν θεοτόκου τῶν Βλαχερνῶν, ἀνέγνω ἀπὸ χάρτου περιέχοντος τοὺς ὅρους τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου.

cha dixit: Connumerantur cum sanctis vasis honorabiles imagines.

Sancta Synodus dixit: Manifestum est.

Sanctissimi episcopi Siciliæ insulæ dixerunt: Vt sancta cum sanctis connumerantur.

Petrus sanctissimus episcopus Nicomediæ dixit: Habemus & nos eumdem librum sancti Maximi: & si iuberis, relegantur quæ prædicta sunt.

Cosmas diaconus & cubuclesius sumens, legit præscriptum sancti Maximi testimonium.

Tarasius sanctissimus patriarcha dixit: Conspiciamus fratres, qualiter dixerit, quia salutauerunt: quod & nos honoris affectu facere debemus. Nam latria nostra ad vnum Deum refertur.

Ioannes reuerendissimus presbyter & vicarius orientalium sedium dixit: Nisi essent necessariæ imagines, nequaquam ad cautelam eas salutauissent: ita vt æquæ potentiæ honorabiles imagines cum euangelio & preciosa cruce sint.

Petrus sanctissimus episcopus Nicomediæ dixit: Et hoc non qualiscumque vir, sed Maximus ille Deo sapiens, & sanctorum consimilis; insuper & confessor, & veritatis propugnator: qui & sufficit nobis ad imitandum in salutando sacras imagines.

Elias reuerendissimus * presbyter sanctæ ecclesiæ dominæ nostræ Dei genitricis in Blachernis sitæ, legit ex charta habente definitiones sanctæ ac vniuersalis sextæ Synodi.

* primus presbyter